Ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
Φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅποι δειπνήσετε.
Ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενασμέναι
Ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι.
Κλῖναί τε σισυρῶν καὶ δαπίδων νενασμέναι.
Κρατῆρα συγκιρνᾶσιν αἱ μυροπώλιδες
Ἑστῶσ' ἐφεξῆς. τὰ τεμάχη ῥιπίζεται.
Λαγῷ' ἀναπηγνύασι. πόπανα πέττεται.
Στέφανοι πλέκονται. φρύγεται τραγήματα.
Χύτρας ἔτνους ἕψουσιν αἱ νεώταται.
Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
Τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια,
Γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδα
Ἔχων. καγχάζων μεθ' ἑτέρου νεανίου.
Ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.
Πρὸς ταῦτα χωρεῖθ' ὡς ὁ τὴν μᾶζαν φέρων
Ἕστηκεν. ἀλλὰ τὰς γνάθους διοίγνυτε.
Φει. Οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ' ἔχων
Ἐνταῦθ' ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ;
Κη. Καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν;
Ο μ. Ἐπὶ δεῖπνον. Κη. οὐ δῆτ' ἤν γ' ἐκείναις νοῦς ἐνῇ
Πρίν γ' ἀπενέγκῃς. Ο μ. ἀλλ' ἀποίσω. Κη. ὁπηνίκα;
Ο μ. Οὐ τοὐμὸν ὦ τᾶν ἐμποδὼν ἔσται. Κη. τί δή.
Ο μ. Ἑτέρους ἀποίσειν φήμ' ἔθ' ὑστέρους ἐμοῦ.
Κη. Βαδιεῖ δὲ δειπνήσων ὅμως. Ο μ. τί γὰρ πάθω;
Τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
Τοὺς εὖ φρονοῦντας. Κη. ἢν δὲ κωλύσωσι, τί;
Ο μ. Ὁμόσ' εἶμι κύψας. Κη. ἢν δὲ μαστιγῶσι, τί;
Ο μ. Καλούμεθ' αὐτάς. Κη. ἢν δὲ καταγελῶσι, τί;
Ο μ. Ἐπὶ ταῖς θύραις ἑστώς. Κη. τί δράσεις εἰπέ μοι.
Ο μ. Τῶν εἰσφερόντων ἁρπάσομαι τὰ σιτία.
Ο κ. Βάδιζε τοίνυν ὕστερος. σὺ δ' ὦ Σίκων
Καὶ Παρμένων αἴρεσθε τὴν παμπησίαν.
Ο μ. Φέρε νυν ἐγώ σοι ξυμφέρω. Ο κ. μή, μηδαμῶς.
Δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι
Ὅταν κατατιθῶ, προσποιῇ τῶν χρημάτων.
Ο μ. Νὴ τὸν Δία δεῖ γοῦν μηχανήματός τινος
Ὅπως τὰ μὲν ὄντα χρήμαθ' ἕξω. τοῖς δέ γε
Τῶν ματτομένων κοινῇ μεθέξω πως ἐγώ.
Ὀρθῶς ἔμοιγε φαίνεται, βαδιστέον
Ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.

A *Vt nobis fortuna sorte electis,*
*Dicat ad vnumquemque virum, vbi cœnabitis,*
*Quòd mensæ sunt abundantes,*
*Bonis omnibus & præparatæ,*
*Lectiq; vestibus & tapetibus pleni.*
*Crateram miscent vnguentariæ,*
*Stant ordinatim, partesq; assantur:*
*Lepores figuntur, placentulæ pinsuntur,*
B *Coronæ plicantur, siccantur bellaria,*
*Ollas fabæ lixatæ coquunt iuuenißimæ.*
*Smœus in ipsis equestre ornamentum habens,*
*Mulierum purgat catinos.*
*Senex autem procedit, vestem & calceamentum*
*Habens, cachinnans cum altero adolescentulo:*
*Iens autem iacet, & terens proiectus.*
*Ad hæc ite quòd massam ferens*
*Stetit, sed maxillas aperite.*
C VIR. *Igitur ibo certè. quid enim steti habens*
*Hic, postquam hæc ciuitati apparent?*
PR. *Et quò vades, tu non deponens substantiam?*
*V.N.D. Ad cœnam.* PR. *non certè si illis mens insit*
*Antequam auferas? V.N.D. sed auferam.* PR. *Quando?*
*V.N.D. Non meum heus tu, impedimento erit.*
PR. *Quidnam?* *(me.*
D *V.N.D. Alios asportare dico adhuc posteriores*
PR. *Ibis autem cœnaturus quomodo? V.N.D. Quid enim passus sum?*
*Grauia enim oportet ciuitati comportare*
*Sapientes.* PR. *si autem prohibebunt, quid?*
*V.N.D. simul ibo inclinans.* PR. *si autem verberabunt, quid?*
*V.N.D. Vocabo ipsas.* PR. *si autem deridebunt, quid?*
E *V.N.DEP. In ianuis stans.* PR. *Quid facies? dic mihi.*
*V.N.D. Inferentium rapiam cibos.*
*V.D. Vade igitur posterior, tu autem ô Sicon*
*Et Parmeno auferte omnem substantiam.*
*V.N.D. Age nunc tibi confero. V.D. nequaquã.*
*Timui enim ne & apud ductricem*
*Quando deponam, appropries res.*
F V.N.D. *Per Iouem igitur inuentione aliquã*
*Vt quidem existentes res habeam, has autem*
*Pistarum communiter participem ego,*
*Rectè mihi videtur eundum,*
*simul est cœnaturum, & non tardandum.*

Σχόλια. Ἐπινενασμέναι.] πεπληρωμέναι. Σισυρῶν.] μαλλωτῶν στρωμάτων. δαπίδων δὲ τῶν ταπήτων. Ῥιπίζεται.] ἀντὶ τοῦ ὀπτᾶται. τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ἐρρίπιζον, ἵνα ὀπτήσωσιν. Τραγήματα] τὰ τρωγάλια λέγει. ἔτνος δὲ εἶδος ἀθάρας ἀπὸ φασηλίων. Σμοιός.) κύριον ὄνομα. αἰσχροποιὸς εἰς γυναῖκας. καὶ ἱππεύσας πρότερον καὶ τοῖς ναύταις διανέμων τὰ τρύβλια. Κονίποδα] στενὸν σανδάλιον.

Bis. Ο μ. Ἐπὶ δεῖπνον.) ταῦτα τὰ γράμματα, Ο μ. δηλοῖ, ὁ μὴ καταθεὶς τὴν οὐσίαν. ἰσοδυναμεῖ δὲ τῷ φειδωλός. ταῦτα δὲ τὰ γράμματα, Ο κ. σημαίνει, ὁ κατα-
G θεὶς τὴν ἑαυτοῦ οὐσίαν.

Σχ. Ἢν δὲ κωλύσωσιν] ἐξ ὧν πρώην αὐτὸς μὴ βουλόμενος τὴν οὐσίαν καταθεῖναι ἐπηρώτα. Παμπησίαν] τὴν πᾶσαν κτῆσιν. Προσποιῇ.] μὴ προσποιῇ διαφέρειν. Τῶν ματτομένων] τῶν ἑψημάτων.